ζοντες μέρος τι οὐ φαῦλον τῆς πολιορκητικῆς διασκευῆς τὸ μὲν κατωρύξαντο, τὸ δὲ καταπεπόντισται σὺν αὐταῖς ναυσίν. Τῆς δὲ ἀπαλλαγῆς αἱ ἀγγελίαι πανταχόσε διαφοιτῶσαι θυμηδίας ἐνεπίμπλασαν τά τε στρατεύματα καὶ τὰ πολίσματα τὰ ὀθωμανικά.

Μετ' οὐ πολλὰς δὲ ἡμέρας εἰς Βέλγραδα κατιόντες ἔτι αὐχμῶντα κατελάβομεν [1]). Καὶ οἱ μὲν στρατοὶ τῷ καθαρισμῷ καὶ τῇ οἰκοδομίᾳ ἐκ περιτροπῆς ἀποσχολάζουσιν· ἡμῖν δὲ τῶν πολλῶν πόνων μικρά τις ὕφεσις ἐπεγένετο· καὶ τῆς ἐνυαλίου πεπαυμένης ταραχῆς πάλιν, ὅσον γε ἐγχωρεῖ, ὁμιλοῦμεν Ἀθηνᾷ καὶ τὸν νοῦν αὖθις τῇ εἰθισμένῃ μελέτῃ καὶ ἀσχολίᾳ παραδεδώκαμεν, ἀθανάτοις εὐχόμενοι πᾶσι καὶ πάσαις, ὅπως ἂν τῆς λίαν ἡμῖν ἐπεράστου καὶ θεσπεσίου κεφαλῆς ὡς τάχιστα ἀπολαύοιμεν καὶ προςτακήσεσθαι ταῖς μελιρρύτοις φωναῖς ἀξιοίμεθα. Ἐρρώσθω ἐς μακραίωνας. Ἀπὸ Βελγράδων, 1693, μηνὶ σεπτεμβρίῳ.

---

## 89. Τῷ Πατριάρχῃ Ἱεροσολύμων Κυρίῳ Δοσιθέῳ. [2])

Καὶ πάλιν εἰς Βέλγραδα διὰ τῶν ὑμετέρων θεοπειθῶν εὐχῶν ἐρρωμένως ἔχων ἐπάνειμι, δεινήν, εἴπερ ποτέ, καὶ χαλεπὴν ταυτηνὶ τὴν ἐκστρατείαν ἀνύσας. Καὶ πάλιν τῷ πανσέπτῳ ἱερῷ τῆς ὑμετέρας τρισολβίου σεβασμιότητος σῶστρα τὴν ἀφήγησιν αὐτῆς, οἱονεὶ γραφὴν καὶ εἰκόνα, τοὺς πάλαι μιμούμενος, ἀνατίθημι.

Ἡλίου τὸ πολὺ τοῦ Λέοντος ἐκμεμετρηκότος καὶ ἀγχοῦ που τῆς Παρθένου γενομένου, παρὰ τοῖς Βελγράδοις ἐστρατοπεδεύκειμεν καὶ ταῖς ὄχθαις ἐνηυλίσμεθα τοῦ Ἴστρου ποταμοῦ. Ἀπὸ τοῦ Σάβου γὰρ ἀπεκλίναμεν, ὅτι τοῖς πίνουσιν ὀλέθριος ᾄδεται ὁ Σάβος ποταμὸς ἀνθρώποις ἐς ἴσα καὶ κτήνεσιν. Καὶ ἤδη ἄρα τά τε ἑῷα καὶ τὰ ἀπὸ δυσμῶν τέλη

---

[1]) 19 σεπτεμβρίου.

[2]) 1694, αὐγούστου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παμπληθῆ παρεγένοντο, καὶ ἀρήϊόν τι πνέοντες τῆς ἐπὶ τὸ πολέμιον ἀνόδου πάντως ἐγλίχοντο. Ἀλλὰ τοῦ τὴν Ταυρικὴν χερρόνησον καὶ τὴν ἀρχὴν τῶν ἐκεῖ Σκυθῶν ἐπιτραπέντος, ᾧ Σελιμγιρέϊος ὄνομα (ἔστι δὲ μόνος τῶν πώποτε κεκρατηκότων αὐτόθι τὴν μὲν γνώμην πρᾶος, τὴν δὲ ψυχὴν ἀνδρεῖος, καὶ τὰ πολεμικὰ ἐκ παίδων ἐξησκημένος, καὶ πέντε καὶ τετταράκοντα ὅλα ἔτη παρηναλωκὼς ἐν πολέμοις καὶ μάχαις, καὶ κλέος ἐκεῖθεν ἀράμενος πολὺ) μήπω παραγενομένου, οὐκ ἀνεκτὴν ᾤοντο τὴν μέλλησιν. Τοὺς μὲν γὰρ Γερμανοὺς τῇ ἐπὶ τοὺς Γαλάτας ἀναβάσει καὶ τῇ ἐκεῖ διατριβῇ ἐλιννύοντας, οὐ πάνυ πολλούς, οὐδὲ εὐρώστους πλησίον που Οὐαραδίνου, [1]) ἐν χωρίῳ Φουτάκῳ καλουμένῳ, ἐπέκεινα τοῦ Ἴστρου τὴν καταζυγὴν πεποιηκότας ἐν φυλακῇ καθῆσθαι ἀπαγγείλας θροῦς τοὺς Ὀθωμανοὺς ὑπεθέρμαινεν ἐπὶ τοὺς ἀγῶνας. Ἀλλὰ μὴν αὐτοῦ περιμεῖναι (*τοὺς Σκύθας*) ἔδοξε κοινῇ βουλευομένοις, ἵνα μὴ κατόπιν ἀφεθέντες, καὶ ἐν μηδενὶ λόγῳ τεθεῖσθαι χαλεπήναντες οἱ Σκύθαι περιαλγήσωσι, καὶ σφᾶς ὕστερον ἐν τῷ ἔργῳ ῥαθυμοτέρους αὐτοὺς καὶ ἀλυσιτελεστέρους παράσχωσιν.

Καὶ οἳ γοῦν, οὐδένα πόνον ἀνιέμενοι, οὐ μετὰ πολλὰς ἡμέρας εἰς τὸ στρατόπεδον ἀφίκοντο. Κἀνταῦθα τῇ ἐξ ἔθους φιλοτησίᾳ συνεστιαθέντες καὶ ξενίοις ὁ μὲν ἡγεμὼν βαρυτίμοις, οἱ δὲ παῖδες αὐτοῦ (ἀνθεῖ γὰρ εὐτεκνίᾳ) καὶ οἱ στρατηλάται τοῖς προσήκουσι φιλοτίμως ἐπικοσμηθέντες, πρωτόποροι [2]) τὸν Σάβον ὑπερέβαλον· ἔζευκτο γὰρ ἤδη πλοίοις καὶ σανιδώμασιν εἰς γέφυραν ἐνηρμοσμένοις καὶ διατεθειμένοις. Ἐφεξῆς δέ, ἧπερ εἰλήχασι τάξεως, οἱ Ὀθωμανοὶ εἵποντο, οἱ πεζοὶ καὶ οἱ ἱππεῖς· εἶτα τὰ πυραυλικὰ μηχανήματα τὰ σφαιροβόλα, αἵ τε ἑλεπόλεις, ἃς οἱ χύδην ἀποκαλοῦσι βομβάρδας, [3]) καὶ τὰ πεδιακά, [4]) σμικρότερα γάρ ἐςι

---

[1]) τανῦν Πετερβαραδίνου.

(* · · · · *) ἐλλείπει ἐν τῷ Ἐπιστλ. .

[2]) «πρωτόπειροι»

[3]) Βομβάρδαι ἐκλήθησαν ἐν Ἰταλίᾳ καὶ Ἱσπανίᾳ τὰ πρῶτα ἀτελῆ τροχήλατα πυροβόλα, δι' ὧν ἐξερρίπτοντο κατὰ τὰς πολιορκίας σφαῖραι πρῶτον μὲν λίθιναι, εἶτα δὲ καὶ σιδηραῖ. Ταύτας καλεῖ ὁ συγγραφεὺς ἑλεπόλεις, καίπερ λίαν διαφερούσας τῶν ἀρχαίων ἑλεπόλεων, ἃς περιέγραψαν ὁ Πλούταρχος (Δημ. κα), Διόδωρ. ὁ Σικελ. (κ. 91) καὶ ὁ Βιτρούβιος (X, 16).

[4]) «παιδιακά.»

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα καὶ χρήσιμα τοῖς ἐν ὑπαίθρῳ ἀγῶσι καὶ πείραις. Ἐπὶ δὲ τούτοις ἡ πολεμικὴ διασκευὴ διεκομίζετο, βαρεῖά τε οὖσα καὶ πολυσχιδής, ἣν ἰδίᾳ τέλος τι στρατιωτῶν ἐμπεπίστευται, μαχηταί τε ὄντες καὶ ταῖς βαναύσοις τέχναις, ταῖς γε παρὰ τὰ πολεμικὰ ἔργα διαφερούσαις, ἐγγεγυμνασμένοι. Τούτοις δὲ παρείπετο τὰ σκευοφόρα τὰ πολλὰ καὶ ἰδιωτικά· τὰ δὲ πλείω καὶ ὁπόσα εἰς τροφὴν ἐπιτήδεια τοῖς κερκούροις [1]) ἠγάγετο. Τελευταῖοι δὲ οἱ περὶ τὸν παραδυνάστην Ἀλῆν, [2]) ὃν οἶδεν ἡ ὑμετέρα μακαριότης ἀπὸ Τριπόλεως τῆς κατὰ τὴν Συρίαν, νεύματι βασιλικῷ ἐλθόντα τῆς στρατηγίας ἐπιστραφῆναι, [3]) διεπεραιώσαντο λαμπρῶς ὡπλισμένοι. Ζαφὲρ δὲ ὄνομα, ἐκ τῆς τάξεως καὶ ὅδε τῶν ὑπάτων, οὓς βεζιρίους καλοῦσιν, ἦγε τὴν οὐραγίαν, πεζούς τε καὶ ἱππέας μισθοφόρους. Ἐπ' ὠμότητι γὰρ καὶ ἀφειδίᾳ πολλῇ φόνου διαβοώμενος, τοὺς δραπέτας ἐδεδίττετο καὶ ἀνεῖργε τοῦ λειποτακτεῖν [4]).

Ταύτῃ δὲ τῆς διαβάσεως ἀπηρτισμένης, ἀθρόοι περὶ τὸ Σεμλῖνον, [5]) ἐν χωρίῳ ὑπὸ τοῦ ποτὲ παραδυνάστου Καρᾶ Μουσταφᾶ βαθείᾳ τάφρῳ περιειργμένῳ, βεβαίαν ἐποιήσαντο στρατοπεδείαν. Κἀντεῦθεν ἀπάραντες τῇ ὑστεραίᾳ διανύσμασι μικροῖς ἦγον ἐκτεταγμένοι καλῶς ἐπὶ τὸ φρούριον τὸ Οὐαραδῖνον, τὸ πάλαι μὲν κλεινὸν καὶ ὀχυρὸν καὶ τοῦ ἐνταῦθα τότε κρατοῦντος ἕδραν, ὁπότε καὶ τοῦ ρηγὸς τῶν Παιόνων [6]) οἱ τὸ Σίρμιον [7]) ἐποικοῦντες ὑποτελεῖς ἦσαν· τοῦτο δὲ εἶτα πόνῳ καὶ φόνῳ μυρίῳ ὑπὸ τῶν Ὀθωμανῶν ἡλωκὸς κατὰ μικρὸν ἠμελημένον ἐρήριπτο καὶ παρ' ὀλίγον ἠρήμωτο· ἀτάρ τοι νυνὶ τῶν Γερμανῶν ἐγκαθημένων, πάλιν ἔθει νεωτερικῷ πρὸς ἀκρίβειαν ὠχύρωται, καὶ κύκλῳ τάφρῳ βαθείᾳ καὶ χάραξι καὶ ἐρύμασιν ὑποσύχνοις [8]) τετείχισται· καὶ τηνικάδε

[1]) «ταῖς κερκούροις.»

[2]) Ἀλῆ πασᾶν Σουρμελῆν.

[3]) ἐπιστρέφεσθαί τινος = φροντίζειν· «Κοινῶς οὖν ἁμαρτάνουσιν ἀμφότεροι, ὅτι τὸν Θεὸν ἐποίησαν ἐπιστρεφόμενον τῶν ἀνθρωπίνων» (Πλούτ. Ἠθικ. 881 Β.)

[4]) «τοῦ λειποταξίου»

[5]) «ζεύγμινον»

[6]) ἤτοι Παννόνων.

[7]) τανῦν Mitrowitz.

[8]) «ὑπὸ συχνοῖς»

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν ὀθωμανικῶν στρατευμάτων ὅσον οὔπω ἀφιγμένων, δισμυρίοις πεζοῖς ἐνηυλισμένοις ἐν φυλακῇ ἦν. Καὶ παρέσχε μὲν ὀχυρότητα πολλὴν ἡ φύσις τῷ φρουρίῳ τούτῳ· ἅτε γὰρ ἐν ἀκρωτηρίῳ προκείμενον ἑκατέρωθεν ἐπικλύζεται τοῖς ἰστρικοῖς κύμασιν, αὐτὸ δὲ τὸ φρούριον τῶν ἑλεπόλεων ὑπεροράᾳ, καὶ τῶν ὁποιωνοῦν μηχανημάτων ὀλιγωρεῖ, ἐν τῷ ὑψηλῷ ἱδρυμένον. Τῶν δὲ δὴ πολεμίων τὴν ὑπερβολὴν ὡς ἔμαθον οἱ Γερμανοί, ἐπειδὴ ἐν τοῖς ψιλοῖς ἀντιτάξαι καὶ προσμῖξαι τοῖς ἐναντίοις οὐκ ἀξιόμαχον αὐτοῖς εἶναι στρατιὰν ἔγνωσαν, οὐ ῥᾳθύμως ὀρύγματι διττῷ εἰς εὖρος καὶ βάθος ὑπέρπολυ κατεσκαμμένῳ, καὶ συνεχέσι σταυρώμασι καὶ πυκνοῖς ὀχυρώμασι καὶ μεσοπυργίοις καὶ ποικίλοις μηχανήμασιν, ὅσα περ ἐξεῦρεν ἡ νῦν περὶ τὰ πολεμικὰ φιλοτιμία καὶ φιλοτεχνία, ἀνυπόστατον καὶ ἄμαχον τὸ κράτος περιεβάλοντο. Οὐ μὴν ἀλλ' οἳ μέχρι δεῦρο τῶν ὑπαίθρων ἐκράτουν τῷ ροθίῳ χρώμενοι, κἂν ταῖς προσβολαῖς ταῖς ἀντιμετώποις τὴν βελτίω διὰ παντὸς κληρούμενοι ὑπερέσχον, τούτων τῷ τότε περιτειχισμῷ ὡς μάλιστα οἱ Ὀθωμανοὶ προσεπηρμένοι καὶ τεθαρρηκότες, ἐγγὺς ἐπέβαλον τοῖς πολεμίοις χαρακώμασι καὶ ἄλλῃ τάφρῳ κύκλῳ περιείρξαντες, ἐν στενῷ κατεστήσαντο· καὶ ἅπαξ δὲ ἀντεκδραμόντας[1]) κατὰ τὸ χθαμαλὸν πάλιν αὐτοὺς ὑποστρέψαι τεταλαιπωρηκότας καὶ εἰς τὰς ὀχυρώσεις ὑποδῦναι συνεώσαντο.

Ἀλλά γε τῆς ἀντιπέραν χώρας ἦσαν ἐν τούτῳ ἐγκρατεῖς οἱ Γερμανοί· καὶ ὡς μυρίους ἱππεῖς ἐκεῖ τάξαντες, ἐν τῷ ἀδεεῖ ἀφθονίᾳ τῶν ἐπιτηδείων ἐχρῶντο· καὶ φρυγανίας καὶ χιλοῦ μηδαμῶς ἐστερίσκοντο· καὶ διττὴν χειριζόμενοι γέφυραν, πυκναῖς περιτροπαῖς τὸ ὁπλιτικὸν ὑπέθαλπόν τε καὶ ἐθάρρυνον· καὶ τῷ τῆς ἐκπτώσεως, εἴτις ἐπίοι κίνδυνος ἐξ ἀπροσδοκήτου, βεβαίῳ καὶ εὐπετεῖ[2]) τῶν ψυχῶν ἀφελόμενοι τὸ περιδεές, ἐκ περιουσίας ἑαυτοὺς εἰς ἐπιμονὴν ἀνεπτέρουν. Καὶ διὰ ταῦτα τοίνυν τῇ ἴσῃ καὶ τῇ ὁμοίᾳ ῥύμῃ ἀμφότεροι ἐπ' ἀλλήλους ἠπείγοντο, οἵτε κύκλῳ προσκαθίσαντες καὶ οἱ ἐντὸς εἰργόμενοι. Καὶ οἱ μὲν τοῖς καταγείοις στενωποῖς καὶ τοῖς σποράδην κεχωσμένοις[3]) περιφράγμασι

---

[1]) « ἀντεκδραμόντες »

[2]) « εὐθετεῖ »

[3]) « κεχωρισμένοις »

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρόσω χωροῦντες, καὶ ἔγγιστα γιγνόμενοι, οἱ Ὀθωμανοί, λίαν ἐπέκειντο εὐσθενῶς, καὶ ἔργων εἴχοντο πολεμικῶν, ὡς ἤδη τὴν τάφρον ὑπερβησόμενοι. Οἱ δέ, ἀτρέμας ἱστάμενοι, τοῖς ἀπὸ χειρός, τοῖς τε βαλλομένοις, τοῖς τε σειομένοις ὅπλοις τὴν ἐπιδρομὴν ἀσκαρδαμυκτὶ προσεδέχοντο. Ἀλλ' ἐν τούτῳ τοῦ αἵματος τὸ Θεῖον ἀνεῖρξε τοὺς ῥύακας, καὶ κατοικτισάμενον τῆς πολυανθρώπου ταύτης πανωλείας ἐφείσατο. Ὕδωρ γὰρ ὡς οὐδέποτε λάβρον ἐγένετο, καὶ ὅλας ὀκτὼ ἡμέρας κατέκλυσε τὴν ἐνταῦθα γῆν, ἐκ φύσεώς γε ἁπαλὴν οὖσαν καὶ ψαθαράν· καὶ ἐκ τούτου ἰλὺς ἀνεβράσθη τοσαύτη, ὥστ' ἐν ἀμηχάνῳ γενέσθαι τὰς πολεμικὰς πείρας καὶ πράξεις, τῶν ἱππέων οὐχ ἧττον ἢ τῶν πεζῶν ἀλυόντων ἐν τῷ σφαλερῷ· καὶ διὰ ταῦθ' ἡμᾶς μὲν ἀπράκτους ἀπιέναι νυκτὸς ὑπαγαγόντας τὸ ὁπλιτικόν, τοὺς δὲ Γερμανοὺς μεῖναι κατὰ χώραν ἀκαταγωνίςους. Οὐ μήν γε μεταχωροῦσι παραλέλειπταί τι [1]) τῆς διασκευῆς· ἀλλὰ πολλὴν ἐν τούτῳ σπουδὴν ἀνατειναμένου τοῦ παραδυνάςου καὶ τῇ παρουσίᾳ τοὺς ἀποκομιεῖσθαι τὰ τοιαῦτα προςτεταγμένους ἀναρρώσαντος, μηδὲν ἐπιτήδειον ἐλείφθη μηδὲ χρειῶδες.

Καὶ τοιοῦτο μὲν πεζομαχίας εἶδος ὁ ἀγὼν οὗτος ἐπέδειξεν, ὑπερφυὲς ὄντως καὶ ἀξιαφήγητον· ἀλλὰ δὴ μηδὲν ἔλαττον ἐγένετο τῆς ἐνταῦθα μάχης μέρος ὁ κατὰ τὸν ποταμὸν κίνδυνος. Ἐν αὐτῷ γὰρ χαλεπή τις ἐπράττετο ναυμαχία πεζομαχίας ἐνάμιλλος. Καὶ γὰρ πληρώμασι στρατιωτικοῖς μεμεστωμέναι περὶ τὰς διακοσίας τριήρεις καὶ ἡμιόλιοι καὶ λέμβοι [2]) ἑκατέρωθεν ἀντανήγαγον, ἔβαλλόν τε καὶ ἐβάλλοντο σαλεύουσαι πόρρωθεν. Οἱ μὲν γὰρ Γερμανοὶ δέκα ναυσὶ μᾶλλον ἢ ὡς διεκπλεῖν ἐν ποταμῷ καὶ ὕδατι στενοπόρῳ ὑπερμεγέθεσι (μυοπάρωνας οἱ Λατῖνοι λέγουσιν αὐτάς, [3]) τοῦ ἐπίπλου τοὺς πολεμίους ἀνείρξαντες, καὶ τῶν παρόντων πραγμάτων ἠγαπηκότες τῇ ἀσφαλείᾳ καὶ τῇ σωτηρίᾳ ὡς ἐν ὁρμητηρίῳ ἐσάλευον. Αἱ δὲ ὀθωμανικαὶ νῆες τὸ πλῆθος τῶν ἐν τοῖς μυοπάρωσι τεχνασμάτων καὶ μηχανημάτων δεδοικυῖαι, ἐπ' αὐτοὺς ὁμόσε, καὶ ὡς κατ' ἴσην γραμμὴν ἀπὸ μιᾶς ἀφετηρίας καὶ

[1]) Κακῶς κεῖται ἐν Ἐπιστολ. «παρείλειπται» καὶ ἐν Χειρ. «παρείληπται»

[2]) «λεμβάδες»

[3]) «μυοπάρωνες ληστρικοὶ» ἐκαλοῦντο ὑπὸ τῶν Ῥωμαίων τὰ πειρατικὰ πλοιάρια.

Ε.Υ.Δ τ.Π.Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

βαλβῖδος ὁρμοῦντας [1]) ἀνταναγαγεῖν ἀπερραθύμουν. Ἑκὰς δὲ τὴν λύτταν ἐκχέοντες ἑκάτεροι τᾶς σιδηρᾶς σφαίρας ἐρρίπταζον ἀπὸ τῶν μηχανημάτων, τάς τε ἄλλας, καὶ χώματα παρὰ ταῖς ναυσὶν ἐν τῇ ὄχθῃ συμφορήσαντες, ἀπ' αὐτῶν τὰς διακένους ἐπεμπάζοντο, τὰς ἐντὸς θειώδη κόνιν κυοφορούσας καὶ φόνον πολὺν ἀποτικτούσας, ὁπότε ὕψοῦ ἀρθεῖσαι, εἶτα κατενεχθεῖσαι, διερρήγνυντο. Μέτρῳ γὰρ ὑπὸ τοῦ μηχανοποιοῦ κατά τι τρύπημα πύρινος μίτος ἐνημμένος ἅμα τῷ πεσεῖν, ὅποι ἂν πεμφθείη, οὐκ ἀπὸ σκοποῦ ἐδίδου τὴν ἐνδομυχοῦσαν ἐξαφθῆναι κόνιν, καὶ τῆς σιδηρᾶς ἄρα τῆς ἐκ τέχνης εἰς τοῦτ' εὐμαρῶς μεμιγμένης σφαίρας ἄφνω διαρραγείσης, τοῖς κλάσμασι τοῖς πέριξ ἐσπαρμένοις βεβλῆσθαι παμπόλλους, τούς γε παρατετυχηκότας, καὶ τοὺς μὲν πεπηρῶσθαι, τοὺς δὲ τεθνάναι· ὁπότεροι δὲ ἐν τῇ τοιαύτῃ συμφορᾷ βελτίονι παθήματι περιπεπτώκοιεν, ὥς γε τἀληθὲς εἰπεῖν, οὐκ ἔχω φράσαι· οὕτω δεινῶς καὶ ἀθλίως ἐπέζων οἱ τοῖς τραύμασι τετρωμένοι τῶν ἐξωλεστάτων σφαιρῶν· καὶ διαρρήδην οὖν γενέσθαι τὸ μηχάνημα τόδε τῶν Ἐρινύων εὕρημα οὐκ ἂν ἀφυῶς εἴποι τις· τοὺς γὰρ ἀνθρώπους τοσοῦτον εἰς σφᾶς αὐτοὺς ἐκμεμηνέναι, εἰ μή τις Ἐρινύων αὐτῶν ὠμότερον ὑπολάβοι τὸν ἄνθρωπον, οὐκ ἂν φάναι τολμήσαιμι.

Διττῆς ἄρα τῆς κατὰ τὸ Οὐαραδῖνον μάχης γενομένης, ὡς ὁ λόγος ἀφηγησάμενος ἔφθη, ἐξ ἑκατέρου τοῦ στρατοῦ πολλοὶ μὲν βιαίῳ μόρῳ διολώλασι, πολλοὶ δὲ τραύμασιν ἔμπηροι γεγόνασιν, οὐκ ὀλίγοι δὲ τοῖς ἐνσκήψασι νοσήμασι διεφθάρησαν. Τῷ γὰρ ὑπερβλύζοντι ὑγρῷ καὶ τῷ πλαδαρῷ τοῦ ἐδάφους, οὗ ἔκειντο, καὶ τῷ κρύει τοῦ περιέχοντος συχνοὶ κεκακοπαθηκότες, καὶ θεραπείας εὐθὺς οὐ τετυχηκότες, τὸ κοινὸν ἀποτετίκασι χρέος [2]). Τὸ δὲ δὴ πλεονέκτημα ταυτησὶ τῆς μάχης εἰς σφᾶς αὐτοὺς ἀμφοτέρων ἐξηγουμένων καὶ ἐφελκομένων, ὁ ἀγὼν ἐν ἀγχωμάλῳ [3]) κατέστη. Οἱ μὲν γὰρ τὸ ἀντίπαλον ἀστεμφῶς τῇ κυκλώσει πιέσαι καὶ κατατρυχῶσαι κομπάζουσιν, οἱ Ὀθωμανοί· οἱ δὲ σφᾶς κατὰ χώραν ἀνυποστάτους μεῖναι καὶ ἀκαταμαχήτους αὐχῶνται· ὁπότεροι δὲ τῷ ὄντι

---

[1]) « ὁρμοῦντες »

[2]) « χρεὼν »

[3]) « ἀγχιμάχῳ »

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΙΣΤΟΡΙΑΣ ΚΑΙ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐν τῷ ἔργῳ τούτῳ (οὐ γὰρ ἐγένετο λαμπρὸν τὸ προτέρημα) πεπροτερήκασιν, ἐν ἀμφιλόγῳ κεῖται, ὥς γ' ἐπ' ἐμοὶ δικαστῇ καὶ διαιτητῇ. Ἐκεῖνο παρὰ πᾶσιν ὅμως ἀναμφήριστον ἔστω, ὅτι οἱ μέχρι δεῦρο ἢ τὴν πεῖραν ἀπονεύοντες, [1]) ἢ ἐν τῷ ἀγῶνι τὴν ἥττω κληρούμενοι τῆτες, οὐκ ἀποδεδράκασι τὴν συμβολήν, ἀλλὰ καὶ κύκλῳ προςβαλόντες καὶ περικλείσαντες τὸ ἀντίπαλον οὐ βραχύ τι ἀπεκναίσαντο. Οἱ δὲ Γερμανοὶ περιφανῶς ἐκκεκλίκασι τὸν κίνδυνον, καὶ τὴν ἀπ' ἐναντίας ὤθησιν καὶ συμπλοκὴν ἐκπεφεύγασι, καὶ τῶν ὑπαίθρων, ὧν ἐπικεκρατήκεσαν διὰ χρόνου πολλοῦ, ἐνταῦθ' ἀκλεῶς ὑπεξέστησαν, πρὸς δὲ καὶ ἧς σφᾶς ἀεὶ κυρίους αὐτοὺς γενέσθαι διεθρύλουν, τὴν συστάδην καὶ ἀντιμέτωπον μάχην οὐκ ᾐσχύνθησαν ἐκκλῖναι, καὶ ἀνασχέσθαι τὸ κεκλεῖσθαι [2]) καὶ πεπολιορκῆσθαι οὐκ ἐπῃδέσθησαν τάφρων ἐντὸς καὶ ἐρυμάτων πανςρατιᾶ γενόμενοι, εἰ μή τις, ὁπηνίκα τυχὸν ἰσχὺς οὐκ ἰσόρροπος ὑπάρχῃ, καὶ τόδε τὸ στρατήγημα πολεμικῆς περινοίας ἀποκύημα γενέσθαι φαίη. Καὶ οὐχ ὑπῆρχε μὲν ἐν τούτῳ τῷ συναντήματι ὡς ἀληθῶς σθένος ἱκανὸν τῇ ἀνθολκῇ τοῦ γαλατικοῦ πολέμου περισπωμένοις τοῖς καισαρείοις.

Καὶ ταῦτα μὲν ἡμεῖς ἐντεῦθεν ἔχομεν ἐπιστεῖλαι, δεινὰ μέντοιγε καὶ χαλεπὰ καὶ τῇ ὑμετέρᾳ ἀκοῇ πάντως ἀήθη καὶ ἀηδῆ· ἀλλ' οὐκ ἄλλα δίδωσιν ὁ ἄνω καὶ κάτω φέρων καὶ περιστρέφων ἡμᾶς Ἄρης. Αὐτὴ δὲ τὰ τερπνότερα καὶ φαιδρότερα γραφέτω, καὶ τοῖς γε ἀπὸ τῶν πραγμάτων θυμήρεσι καὶ κεχαρισμένοις, καὶ ταῖς μελιχραῖς ἴυγξι ταῖς ἀπὸ τῶν λόγων καὶ τοῖς θελκτηρίοις ἐπιτεμνέτω καὶ ἀποκρυπτέτω τὴν ἡμετέραν ἀθυμίαν, καὶ δὴ καὶ ἐπὶ τοῖς εἰς ἡμᾶς ὑπηργμένοις [3]) εὐεργετήμασι τῆς ἐπιούσης ταύτης εὐποιΐας ὡς μεγάλας εἰσόμεθα χάριτας, εἰ μὴ τάχα τις ἄλλη Ἐνυώ, ἐξ ᾅδου τὴν κεφαλὴν ἄρασα καὶ καταιγίσασα τὰ τῇδε συνετάραξεν· ἀλλ' ὁπωςδήποτε ἔχοι τά τε καθ' ὑμᾶς, τά τε καθ' ἡμᾶς, ταῦτα τῇ προνοίᾳ πάντ' ἐπιτρέψωμεν. Προςειπέτω δὲ ὡς παρ' ἡμῶν ἅπαντας, οὓς ἂν ἐπίσταιτο προςερεῖν ἡμᾶς ἀπὸ ψυχῆς καὶ συνεύχεσθαι. Περιπτύσσεται δὲ καὶ ὁ κατὰ πνεῦμα υἱὸς αὐτῆς Σκαρλάτος

[1]) Ἴδ. Ἐπιστ. 2, σελ. 6, σημ. 2.

[2]) «κεκλῆσθαι»

[3]) «ἐπηργμένοις»

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοὺς τιμίους αὐτῆς πόδας καὶ προσφύεται τοῖς φιλήμασιν. Ἡ δὲ σεβασμία μοι κεφαλὴ ζήτω καὶ ἐρρώσθω ἐπὶ μήκιστον.

## 90. Κωνσταντίνῳ Δούκᾳ βοεβόδᾳ εὖ πράττειν.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Δεινή καὶ χαλεπή τις Ἐνυώ, τοῖς ἡμετέροις ἀράξασα πράγμασιν, ἐπὶ τοσοῦτον ἡμᾶς περιέστη καὶ κατεδούλωσεν, ὥστε τοῦ αὐτεξουσίου ἐκπεπτωκότας καὶ δὴ καὶ τῆς αἰσθήσεως τῶν οἰκείων πραγμάτων ἐπίπαν ἀφεστηκότας, τῷ ἐπιόντι κινδύνῳ προστετηκέναι καὶ τῶν τριχῶν, ὥς φασιν, ἐκεῖθεν ἀναρτηθέντας, μὴ πρὶν εἰς ἑαυτοὺς ἀνακάμψαι ἢ τῶν ἐκείνης χειρῶν ἀφαλαμένους [1]) καὶ ἀνασπασθέντας. Καὶ δὴ χάρις εἴη τῷ κρείττονι, τῷ σεσωκότι καὶ ἑαυτοὺς ἡμῖν δεδωρηκότι, ὥστε τοῦτον ἐξ ὑπαρχῆς ἀναζῆσαι τὸν βίον. Μηδέ γε τῇ δειλίᾳ καὶ τῇ φιλοψυχίᾳ ταῦτ' ἀνατεθείσθω· οὐ γὰρ ὡς ἀλέκτορες πτήσσομεν, οὐδὲ βίον λαγῶ βεβιώκαμεν· ἀλλὰ πρὸ πολλῶν ἐτῶν μεγάλοις κινδύνοις καὶ λαμπροῖς ἀγῶσι παλαίομεν καὶ ποικίλαις ἐπόψεσι τοῦ Ἄρεως εἰθίσμεθα καὶ διηνεκῶς ὁμιλοῦμεν· ἀλλὰ τήν γε τῆτες πεῖραν οὐχ ὑπεστησάμεθά πω.

Στρατόπεδον γερμανικὸν οἱ Ὀθωμανοὶ περιεκαθέσθησαν, καὶ χαρακώμασι προσέβαλον ταῖς τάφροις καὶ τοῖς σταυρώμασι τοῖς ἐναντίοις. Καὶ οἱ ἐν ταῖς συσταδὸν μάχαις μέχρι δεῦρο χλιδῶντες καὶ γαυρούμενοι τὴν ἐν ὑπαίθρῳ συμβολὴν ἐξέκλιναν, καὶ ταφρείας εἰς εὖρος καὶ βάθος ὑψηλὸν ὀρωρυγμένης καὶ ἐρυμάτων ἐχυρῶν καὶ παντοδαπῶν περιφραγμάτων ἐντὸς γενόμενοι, πανστρατιᾷ κεκλεῖσθαι καὶ ἐν στενῷ πεπιέσθαι καὶ τετρυχῶσθαι οὐκ ὤκνησαν· καὶ ταῦτ' ἐν χωρίῳ ἐκ φύσεως ἀνυποστάτῳ στρατοπεδευσάμενοι. Οἱ δὲ Ὀθωμανοί, οἱ τὰς ἐν τοῖς ψιλοῖς πείρας καὶ συμπλοκὰς ἢ κατὰ τὴν πρώτην ἔποψιν ἀνεπτηχότες

[1]) « ἀφελομένους »

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ διαδεδρακότες, ἢ μετὰ βραχεῖαν ἀγωνίαν τὴν ἧττω κεκληρωμένοι, ἄρτι τοῖς γερμανικοῖς χάραξιν εὐσθενῶς ἐπιτιθέμενοι, ἐρρωμένως ἐπέκειντο. Καὶ ἢν μὴ λάβρον ὕδωρ διαγενόμενον καὶ τὴν αὐτόθι χέρσον, οἰνόφυτον οὖσαν καὶ ψαθαράν, εἰς ἰλὺν ἔλυσεν ἐπισφαλῆ μένουσί τε καὶ βαδίζουσιν, εἴτε πεζοῖς, εἴτε ἱππεῦσι, καὶ ὑπαγαγεῖν συνεώσατο καὶ μεταχωρῆσαι, ἴσως ἂν καὶ ἐπέδραμον, καὶ τὸ πολέμιον ὑπεχειρώσαντο στρατόπεδον καὶ ἠρίστευσαν. Ἀλλὰ ταῦτ' ἀνακείσθω τῇ Προνοίᾳ.

Οἱ δὲ παρεδρεύειν ἐν τούτῳ τῷ ἔργῳ τεταγμένοι τῷ παραδυνάσῃ, οἷς ἐπίσταται κἀμὲ συναριθμεῖσθαι, ὡς μάλιστα διεκινδυνεύσαμεν. Ἐκ γὰρ τῶν σφαιροβόλων μηχανημάτων αἵ τε ἄλλαι σιδηραῖ σφαῖραι ἅμα πολλαὶ ἐκ περιτροπῆς ἐρριπτάζοντο, καὶ αἱ διάκενοι, αἱ τῆς θειώδους κόνεως ἐντὸς ἀνάπλεῳ, αἱ μέτροις πειθόμεναι τοῦ μηχανοποιοῦ, ἤροντο μετέωροι, κἆτα κατεφέροντο τρίγωνόν τι σχῆμα ἐν τῷ περιέχοντι καὶ τῷ δαπέδῳ διαγράφουσαι· καὶ ὅποι ἂν καταπεμφθεῖεν, τῆς ἐνδομυχούσης πυρίνης κόνεως ὑπὸ τοῦ ἐμπυρεύματος κατά τι στόμιον ἐμφωλεύοντος ἐν τῷ δέοντι ἐξημμένης, ἐρρωγυῖαι (πεφύκασι γὰρ ἐκ ῥᾴστου θραύεσθαι ἐξ ὕλης συγκράτου μιγεῖσαι) μυρίοις κλάσμασι πέριξ ἀνωμάλως ἐσπαρμένοις τοὺς παρατυχόντας ἐτίτρωσκον· καὶ οὓς μὲν παραχρῆμα ἀπεκτίννυον, οὓς δὲ σχετλίως διαπήρους ποιήσασαι ἡμιθνῆτας κατέβαλλον, ὥςθ' ὁπότεροι μείζονι συμφορᾷ περιπεπτώκοιεν, παρὰ τοῖς κρίνουσι τὰ τοιαῦτα ἐν ἀμφιλόγῳ γενέσθαι τὴν περὶ τούτων ὑπόληψιν. Καὶ τάδε μέντοι γε τῇ νεμέσει τῇ περὶ ἡμᾶς ἐσχεδιάζετο καὶ ἐπράττετο καὶ ἦγχε τρεῖς ὅλας ἑβδομάδας. Οὔτε γὰρ ἑκὰς ηὐλίσμεθα, ἀλλὰ πλησίον που τῶν χαρακωμάτων διημερεύομεν καὶ διηγρυπνοῦμεν, καὶ τῶν συνδιαιτωμένων καὶ συσκήνων συχνοί τινες ἐξ ἀνθρώπων ἐγένοντο.

Ἀλλ' εἰς τί σοι ὁ λόγος ὅδε οὕτως ἐπὶ μακρὸν ἐξυφαίνεται; φαίη τυχὸν ἡ ὑμετέρα ὑψηλότης. Εἰς τοῦτό γε καὶ μόνον, ὦ σεβαστὴ κεφαλή· ὅτι ἐκ πολλοῦ μὲν τοῖς ἡμετέροις γράμμασι τὴν χρεωστουμένην προσκύνησιν οὐκ ἠνέγκαμεν τῷ πανευσεβάστῳ ὕψει· οὐδὲ γὰρ ἐφ' ἡμῖν ἦμεν· τὸ δέ γε νῦν ἔχον εὐμενείᾳ τοῦ κρείττονος ἀναπνεύσαντες, ταῖς ἀκραιφνεστάταις καὶ λαμπροτάταις προσηγορίαις αὐτὴν προςεροῦμεν, καὶ ἀντιβολοῦμεν τῶν τε τιμίων γραμμάτων, τῶν τε ἡγεμονικῶν αὐτῆς προσταγμάτων ἐπιτεύξεσθαι· μέγα γὰρ τῆς ἡμετέρας εὐπραγίας τοῦτο τεμάχιον. Βιῴη καὶ διευτυχοίη ἐπὶ μήκιστον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΟΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## 91. Ἐπιστολὴ διηγηματική.[1])

Τοὺς Ὀθωμανοὺς ἐπὶ Γερμανῶν ἐκστρατευομένους ὡς οὐδέποτε παμπληθεῖς ἔτεσιν ἀπὸ Σωτῆρος αχϙς' (ἦσαν γὰρ συνηλισμένοι τετρακισμύριοι πεζοὶ καὶ ἱππεῖς τετρακισμύριοι, παρὰ τὸ ἄοπλον καὶ οἰκετικόν,[2]) ὁ κραταιὸς αὐτῶν βασιλεὺς ὁ σουλτάνος ἦγεν, ᾧ ὄνομα Μουσταφᾶς, παντὸς ἠφειδηκὼς πόνου καὶ ἱδρῶτος, ἐφ' ᾧ τὴν προτέραν ἀνακτήσαιτο τοῦ ὀνόματος εὔκλειαν.

Ἀπὸ δὲ Τεμισβαρίνου γραμμάτων ἀφικομένων ἠγγέλλετο, ὡς οἱ Γερμανοὶ περὶ τοὺς τρισμυρίους ἱππέας τε καὶ πεζούς, ὑπὸ στρατηγῷ τῷ ἐκλέκτορι τῆς Σαξονίας ἀθροισθέντες πρὸς τῷ Ζαναδίῳ[3]) (πόλισμα δέ ἐστι τὸ Ζανάδιον παρὰ τῷ Μαυρουσίῳ ποταμῷ), ὅσον οὔπω τοῖς ἀπὸ Μυσίας τῆς νῦν Ἐρδελίας[4]) ἱππεῦσιν ἤμελλον εἰς ἓν ἐλθεῖν, καὶ κύκλῳ περικαθίσαντες πάσῃ μηχανῇ καὶ πᾶσι τεχνάσμασι πολιορκῆσαι τὸ Τεμισβαρῖνον. Ἔστι δὲ τοῦτο ἄστυ πάνυ παλαιόν, κείμενον ἐπὶ Βέγᾳ[5]) ποταμῷ· καὶ λιμναδίοις καὶ ἕλεσι πανταχόθεν εἴργεται καὶ ὀχυροῦται, ἐχθρᾷ χειρὶ δυσέφοδον καὶ ἀνυπόστατον. Ἔχει δὲ τὸ ἐπώνυμον ἀπὸ Τεμισίου ποταμοῦ, οὐ πόρρω ῥέοντος, καὶ διά τι μέγεθος μᾶλλόν τι θρυλουμένου· ἢ πάλαι τὸ Τεμισβαρῖνον, παρὰ τῷ Τεμισίῳ οἰκούμενον, ὕστερον ἐπὶ τὸν Βέγαν μετῴκισται, τοῦ δὲ ὀνόματος οὐκ ἀπέσχετο. Καὶ τὴν καταδρομὴν τήνδε τῶν πολεμίων δείσαντες οἱ Ὀθωμανοὶ μείζοσι σταθμοῖς ὡς ἐπὶ Βελγράδων ἔσπευδον, καὶ συνελθόντες σφᾶς ἐν ὅπλοις καὶ διακόσμῳ πολλῷ ἐπεδείξαντο τῷ κρατοῦντι, διὰ μέσων ἰόντι τῶν στρατῶν καὶ κατακόρως κομπάσαντι. Ἀλλ' οὔπω τὴν κόνιν ἀποτινάξαντι

---

[1]) 1696, αὐγούστου.

[2]) «σκευοφόρον»

[3]) Csanad.

[4]) Τρανσυλβανίας.

[5]) «Βώλῳ»

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΙΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μηνύεται πεπολιορκῆσθαι τὸ Τεμισβαρῖνον καὶ ἁλῶναι διακινδυνεύειν, μὴ τὴν ταχίστην λυομένης τῆς πολιορκίας. Οὐ γὰρ λίθοις ἐτετείχιστο, ἀλλὰ χάραξι καὶ χώματι περιπέφρακται τὸ Τεμισβαρῖνον· καὶ αἱ οἰκίαι, ξύλιναι οὖσαι καὶ ὑπὸ παλαιότητος σεσαθρωμέναι, ἀφ' ἑνὸς σπινθῆρος τὸν ἐμπρησμὸν ἀνέμενον· ἐβάλλοντο δέ, ὡς ἔλεγον αἱ ἀγγελίαι, νυκτὸς καὶ μεθ' ἡμέραν τοῖς πυραυλικοῖς μηχανήμασιν. Καὶ δὴ τὸν Ἴστρον διαπεραιοῦσι καὶ ἑξῆς τὸ Τεμίσιον τοὺς ποταμούς, ναυσὶν αὐτοὺς ζεύξαντες. Ὡς δὲ ἔμαθον αὖθις, ὅτι παρακαθέζονται μὲν τῷ φρουρίῳ, οὐ μὴν τάφρους ἀνορύξαντες οἱ Γερμανοὶ τῆς πολιορκίας εὐσθενῶς ἀντεποιοῦντο, ἀλλ' ἐν προσχήματι πολιορκίας τοὺς Ὀθωμανοὺς σπουδάζοιεν ἀνθελκύσαι καὶ πόρρω ποι Οὐαραδίνου μεταπέμψασθαι καὶ Τιτελίου τῶν ὀχυρωμάτων (οἷς κατέχονται Ἴστρος καὶ Τίβισκος οἱ ποταμοὶ καὶ ἀνείργουσι τὰς ὀθωμανικὰς ἐπὶ τὴν Παννονίαν ἐφόδους), ἀφέντες οἱ Ὀθωμανοὶ τὴν ἐπὶ Γερμανοὺς καὶ τὸ μεῖζον αὐτῶν στράτευμα, τρέπονται ἐπὶ τὴν λαιὰν [1]) ὡς ἐπὶ Τιβίσκου, καὶ ἄγουσιν ὅποι ὁ Τίβισκος εἰς τὸν Ἴστρον ἀφανίζεται, καὶ ἐπιβάλλουσι τοῖς παρὰ τῷ ποταμῷ τούτῳ ἑκατέρωθεν ἐρύμασι καὶ ἐξ ἐπιδρομῆς αἱροῦσιν αὐτά.

Οἱ δὲ Γερμανοὶ ἀπεγνωκότες τοὺς ἐνταῦθα μυοπάρωνας, πυρὶ παραδόντες αὐτούς, τὴν σφῶν ἐπραγματεύοντο σωτηρίαν. Ἀλλ' οἱ μὲν τρεῖς, τοῦ πυρὸς εὐθὺς ἐπινεμομένου, παρηναλώθησαν· ὁ δὲ τέταρτος ἕρμαιον ἐγένετο τοῖς Ὀθωμανοῖς, καὶ ἐσκυλευμένος εἰς Βέλγραδα μετηνέχθη πᾶσιν ὀργάνοις καὶ πάσῃ διασκευῇ. Ἀλλὰ καὶ τὸν Τίβισκον ἤδη διαπερᾶν ἤθελον οἱ Ὀθωμανοί, καίτοι μυρίων Γερμανῶν τὴν πέραν ὄχθην ἐχόντων καὶ τὴν ἔφοδον ἐκεῖθεν ἀνειργόντων. Ἀλλ' ἐν τούτῳ τὸ Τεμισβαρῖνον σφόδρα πιέζεσθαι διαγγέλλεται· καὶ τῇδε τῇ ἀγγελίᾳ σφόδρα πεπληγμένοι, μεγίσταις ὁδοιπορίαις ἀνάγουσιν οἱ Ὀθωμανοί, τῶν σφετέρων τὴν σωτηρίαν καὶ τὴν φυλακὴν προτετιμηκότες νέας ἀνακτήσεως. Καὶ τούτων ἄρ' οὖν ἤδη πελαζόντων, μεταστρατοπεδεύουσιν οἱ Γερμανοί, τὴν συστάδην αἱρούμενοι μάχην, ἧς ἐν πολλοῖς συναντήμασιν εὐτυχῆ διάπειραν εἰλήφεσαν.

---

[1]) «τὴν χρὰν»

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Καὶ δῆτα οἱ μὲν παρὰ Βέγᾳ ποταμῷ στρατοπεδεύονται· οἱ δὲ εἰς στενήν τινα πεδιάδα, μακροῖς καὶ μεγάλοις ἑκατέρωθεν ἕλεσι τεθλιμμένην, εἰςβάλλουσι· καὶ διάλειμμα ὅσον ὡρῶν τριῶν ἀλλήλων ἀπέχοντες πέμπουσι τὴν ἱππικὴν μῖξαι τοῖς ἐναντίοις καὶ σφῶν τινα ποιῆσαι διάπειραν. Καὶ οἱ μὲν ἱππεῖς ἀπῆλθόν τε καὶ φύρδην ἐπιμιγνύουσι· καὶ μηδέν τι γενναῖον διαπράξαντες σὺν τραυματίαις οὐκ ὀλίγοις ἐπανίασιν. Οἱ δὲ πεζοὶ οἱ ἐν τῷ στρατοπέδῳ, λίαν ἀνεπτηχότες τὴν τῶν Γερμανῶν ἀπροςδόκητον ἄνοδον (ἀνήγοντο γὰς τοῖς μετακεχωρηκόσιν ἱππεῦσιν ἑπόμενοι βάδην), ἧ σπουδῆς εἶχον χαρακώμασι τό τε πρόσω καὶ τὸ ὀπίσω τῆς στρατοπεδείας ἐτείχιζον, καὶ τὰς πλευρὰς ἐνεπέδουν ταῖς ἁμάξαις ἐστοιχηκότες, καὶ τὰ πυραυλικὰ ἐν γηλόφοις δυσὶν ἀνέκαθεν κεχωσμένοις [1]) καὶ ἀλλαχόθι κύκλῳ θέντες, [2]) χρόνῳ βραχεῖ μεγάλην ἀσφάλειαν περιεποιήσαντο· ὥςτε οἱ Γερμανοὶ παρατεταγμένοι ἀνιόντες, καὶ τῇ μὲν τὸ στενὸν τοῦ πεδίου ἀποδοκιμασάμενοι, τῇ δὲ τὰς ὀχυρώσεις δεδοικότες, ὡς εἶχον ἐν παρατάξει, μὴ σκηνοποιησάμενοι, διενυκτερεύσαντό τε καὶ διημερεύσαντο· τῇ δὲ ὑστεραίᾳ αὖθις ὀπίσω κατῆγον καὶ τῶν ἑλῶν ἐξελθεῖν ἡμᾶς ἀφῆκαν. Καὶ αὐτοὶ ἄρα τῇ ἐπιούσῃ ἐξήλθομεν, [3]) καὶ τοὺς Γερμανοὺς ἐν τοῖς ἀριστεροῖς παραδραμόντες, καὶ τῶν μὲν πεζῶν ταῖς ἁμάξαις καλυπτομένων, τῶν δὲ ἱππέων καὶ τῶν βασιλικῶν ἑκατέρωθεν καὶ ἐν ἑτέρῳ στίφει πόρρωθεν περιιόντων, ὥςτε, καὶ μὴ ἐπιτιθεμένων τῶν ἐναντίων, πρόσω χωρεῖν ἐν τάξει καὶ κόσμῳ, καὶ ἐμβαλόντων, ἱσταμένους τῆς ἐν μεσαιτάτῳ φάλαγγος ἀμφότερα τὰ πλευρὰ καλύψαι τοὺς ἱππέας καὶ μῖξαι κατὰ μέτωπον ἐν δέοντι παρατεταγμένους, κάτιμεν ἐπὶ τὸν Βέγαν εἰς χωρίον, ὄνομα αὐτῷ Κενέγιον.

Κἀνταῦθα γενόμενοι καὶ τῇ πορείᾳ καὶ τῇ καταζυγῇ κεκμηκότες, καὶ μηδεμιᾶς ἔτι στρατοπεδείας ἐπιμεληθέντες, οὔτε τὴν παρεμβολὴν τάφρῳ καὶ σταυρώμασι περιτειχίσαντες, ἀλλὰ ταῖς ἁμάξαις μόναις ἀμηγέπως κύκλῳ περιπεφραγμένοι, οἱ μὲν ὕπνῳ, οἱ δὲ τροφῇ προςείχομεν.

---

[1]) Ἐπισ. καὶ Χειρ. «κεχωννυμένοις»

[2]) «κυκλωθέντες»

[3]) 20 αὐγ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

'Αλλ' οἱ Γερμανοί, μάχην ἀσθμαίνοντες καὶ παντὸς καιροῦ στοχαζόμενοι, ἐμπίπτουσι τῇ μεταξὺ ὕλῃ καὶ τὴν ἔφοδον ἐπικρύψαντες ἀνίασιν ἐφ' ἡμᾶς. Καὶ τοῦτο γὰρ ἀτεχνῶς ἐπεπλημμέλητο τοῖς 'Οθωμανοῖς, πρὸς τῇ ὕλῃ ἐστρατοπεδευκόσι καὶ μηδὲν μεταξὺ λιποῦσι διάστημα. 'Αλλὰ τὸ σφάλμα τῶν 'Οθωμανῶν εἰς σωτηρίαν αὐτοῖς ἐτράπη, τὰς νίκας καὶ τὰς ἥττας οἷς ἂν εἴη βουλομένῳ βραβεύοντι τῷ Θείῳ. Τὸ γὰρ δάσος μακρὸν μέν, ἀλλὰ στενὸν ἦν καὶ ἕλεσι πολλαχοῦ διεκόπτετο· καὶ ἦγον μὲν οἱ πολέμιοι διὰ τοῦ κατασκίου καὶ ἀφανοῦς οἱ πλείους, καὶ ἐπέβαλλον ἀπροσδόκητοι· οὐ μὴν εἶχον ἐπιμηκῦναι τὸ μέτωπον, ἐφ' ὅσον ἐχρῆν ἐπιτιθέναι κατὰ πλάτος τοῖς ἐναντίοις, καὶ συνταράξαι κυκλόθεν αὐτούς, ἀλλ' ἐπέπεσον ἀθρόοι τοῖς πεζοῖς παρὰ τὰς ἁμάξας. Καὶ τοὺς μὲν ἱππέας τοὺς ὀθωμανούς, οἳ τοῖς ἐναντίοις προσμίξαντες κατὰ τὸ δεξιὸν ἐπέκειντο, καὶ ὑπῆγον ὀπίσω στείλασθαι τὸ κατ' αὐτοὺς ἱππικόν, οἱ πολέμιοι πεζοὶ τοῦ δεξιοῦ κέρατος ἀπὸ τῶν θάμνων, ἵνα λελήθασι καθεζόμενοι, ἔβαλλόν τε συχνοὶ τοῖς τηλεβόλοις καὶ ἔτρεπον, καὶ μάχη τις ἀγχώμαλος ἔρρει τὸ ἐνταῦθα. Τὸ δὲ ἀριστερὸν μάλιστα κέρας, τὸ γερμανικόν, ὅπερ ἐκληρώσατο τὴν εἰς τὸ στρατόπεδον ἐπιβολήν, ἐνέβαλεν ὅλῃ ῥώμῃ καὶ ὁρμῇ καὶ διαβέβηκεν ἤδη τῷ ῥοθίῳ τὰς ἁμάξας ῥῆξαν, καὶ ἔτρεψε τοὺς ὑπηντηκότας [1]. 'Αλλ' οἱ ὀθωμανοὶ στρατηλάται, ἐν τῷ ἔργῳ συχνοὶ δεδραμηκότες αὐτόσε, καὶ νεαρὸν ἄγοντες στρατιώτην, εὐτόλμως ἀνέμιξαν αὖθις, καὶ ἀνεπαλαίσαντο· καὶ τρεῖς ὅλας ὥρας κυμαινομένης ἰσοπαλῶς τῆς μάχης, φόνος ἐρρύη πολύς, καὶ ἔπιπτον ἑκατέρωθεν ὑπέρπολλοι. Καὶ οἱ μὲν ἴσχυον τοῖς τηλεβόλοις, οἱ Γερμανοί· οἱ δὲ τοῖς ξίφεσιν, οἱ 'Οθωμανοί. Καὶ ὁ βασιλεὺς αὐτῶν ἱππεῦσι περιεστοιχισμένος ἔμεινε κατὰ χώραν ἀνδρειότατα, εἴ ποι δεήσοι, σώματι προσδραμεῖν ἕτοιμος, ἀλλ' οὐκ ἔξω κινδύνου καὶ βέλους ἔμεινεν· αἱ σφαῖραι γὰρ αἱ ἀπὸ τῶν πυραυλικῶν μηχανημάτων ἔπιπτον ἁπανταχόσε καὶ παμπόλλους ἵππους τε καὶ ἄνδρας ἐφόνευον.

'Αλλ' οὔτε μὴν ἐδέησε βασιλικῆς ἐπικουρίας ἐν ταύτῃ τῇ πείρᾳ· ἀλλὰ τρέπονται τελευτῶντες οἱ Γερμανοί, καινόμενοι παρά τε πεζῶν καὶ ἱππέων ἀναμίξ, καὶ κρύπτει αὐτοὺς νὺξ ἐπελθοῦσα. Τὴν δὲ φυγὴν αὐτῶν

[1]) «ἀπηυδηκότας»

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μεθ' ὁποίου γέγονε θορύβου καὶ ταραχῆς ἤλεγξεν ἡ ἐπιοῦσα. Τῶν γὰρ πυραυλικῶν ἑλεπόλεων οὐ τὰς μεγάλας μόνον, ἀλλὰ καὶ τὰς σμικράς,[1]) τὰς διακονούσας ταῖς συστάδην μάχαις καὶ μετ' εὐμαρείας ἐξενεχθῆναι δυναμένας, ὑπὲρ τὰς εἴκοσι κατόπιν ἔλιπον· καὶ τοῖς Ὀθωμανοῖς ὕστερον ἑαλωκυῖαι, σύμβολα νίκης ἐγένοντο. Καὶ πολλαὶ δὲ σημαῖαι ἥλωσαν ἅμα καὶ τὸ πεδίον ἔστρωτο τοῖς γερμανικοῖς νεκροῖς. Οὐ μὴν οὔτε τοὺς Ὀθωμανοὺς ἀναιμωτὶ κατηύγασεν ἡ νίκη· ἀλλὰ πολλοὶ μὲν ἐπεζητήθησαν, πολλοὶ δὲ καὶ ἐτραυματίσθησαν· καὶ ἐν τούτοις, ὅ τε τῶν Ἰανιτζάρων ἡγεμών, εἴ τις ἄλλος ἀριστεύσας, καὶ Μουσταφᾶς βεζίριος, ὁ τοῦ μεγάλου βεζιρίου ὁμαίμων, ὃς τὸν βραχίονα πληγείς, καὶ ἀπειρίᾳ χειρουργοῦ μὴ ἀποτμηθεὶς τῇ χειρί, μετ' οὐ πολλὰς ἡμέρας συναπέθανεν.

Μετὰ δὲ τὴν μάχην οἱ μὲν Γερμανοί, κατὰ χώραν διημερεύσαντες, τῇ ὑστεραίᾳ ἀπῆλθον· οἱ δὲ Ὀθωμανοὶ τὸ Τεμισβαρῖνον καταλαβόντες, καὶ σιτίων ἐμπλήσαντες, ὕστερον ὡς ἐπὶ Βελγράδων κατῆεσαν, στέρξαντες τῇ νίκῃ καὶ κλέος μόνον ἀπ' αὐτῆς καρπωσάμενοι.

---

[1]) «οὐ τὰς μικρὰς μόνον, ἀλλὰ καὶ καὶ τὰς μεγάλας»

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΗΣ ... ΔΙΕΥΘΥΝΣΗ ... ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006